Καὶ τὸ αὐτὸ τῶν ρ̅ν̅ ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων

33 Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ ταφέντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐν δεξιᾶι τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῶι προσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν, εἰς μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν

34
L IIII 566 Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον· περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἀλλ' ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα διὰ τῶν οἰκείων αἱρέσεων τὰς κενοφωνίας ἀπέτεκον, οἱ μὲν τὸ τῆς δι' ἡμᾶς τοῦ
M VII 113 κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμήσαντες καὶ τὴν θεοτόκος ἐπὶ τῆς παρθένου φωνὴν ἀπαρνούμενοι, οἱ δὲ σύγχυσιν καὶ κρᾶσιν εἰσάγοντες καὶ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀνοήτως ἀναπλάττοντες καὶ παθητὴν τοῦ μονογενοῦς τὴν θείαν φύσιν τῆι συγχύσει τερατευόμενοι, διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα ὥρισεν προηγουμένως

---

15 in altera parte definitionis ad Timothei Aeluri testimonia accedunt quae inde excerpta sunt in uersione Armeniaca [$T^{arm}$] 15—18 παρίστησιν. 19—23 οἱ μέν — τερατευόμενοι 25—p. 129, 22 ὥρισεν — ἀναθεματίζει p. 162. 170. 180; p. 129, 30. 31 ἕνα — γνωριζόμενον p. 199; eademque et p. 129, 31—33 οὐδαμοῦ — συντρεχουσῶν in epitoma Syriaca [$T^{syr}$] cod. Mus. Brit. Add. 12056 f. 14. 15

---

M, B [= ab], R, F [= ps], $OK^wK^zbcv\Phi\Phi^6$, $\Lambda^o$ [usque ad 14], $\Lambda^h\Lambda^v\Lambda^{bq}\Lambda^l\Lambda^\theta$ Tim. $T^{arm}$ $T^{syr}$

1 τὸ σύμβολον τῶν ρ̅ν̅ R ἔκθεσισ τῶν ρ̅ν̅ ἁγίων πατέρων $F^p$ ἔκθεσισ πίστεωσ τῆσ β̈ συνόδου τὸ ἅγιον σύμβολον $F^s$ in mg. τὸ σύμβολον τῶν ἐν κωνσταντινουπόλει ρν ἐπισκόπων $K^w$ ἔκθεσισ πίστεωσ τῶν ἐν κωνσταντινουπόλει ρ̅ν̅ ἁγίων καὶ μακαρίων π̅ρ̅ω̅ν̅ bcv om. $\Lambda^o$ καὶ τὸ αὐτὸ [τὸ αὐτὸ σύμβολον $\Phi^{cr6}$] $K^z\Phi\Phi^6\Lambda^o\Lambda^l$ καὶ τὸ MB τὸ σύμβολον O π̅ρ̅ω̅ν̅ σύμβολον B τῶν — συναχθέντων om. $\Lambda^l$ 4 θεὸν] φῶσ ἐκ φωτὸσ θεὸν $MBFOK^wbcv$ θεὸν ἐκ θεοῦ φῶς ἐκ φωτὸς θεὸν $\Lambda^l$ 5 δι' — ἐγένετο om. $K^z$ 6 τοὺς ἀνθρώπους om. $\Lambda^l$ διὰ om. $\Phi^a\Phi^6\Lambda^o$ κατελθόντα ἐκ τῶν οὐρανῶν $MBFOK^wbcv$ 7/8 σταυρωθέντα — ἡμῶν] παθόντα $\Lambda^l$ 8 ταφέντα] παθόντα καὶ ταφέντα $MBFOK^wbcv$ ἡμέρα κατὰ τὰσ γραφὰσ $MBFOK^wbcv$ καὶ³ om. $\Phi^{ac}\Phi^{ac6}\Lambda^o\Lambda^l$ 9 τοὺς om. R καὶ² om. $\Phi^{ac}\Phi^{ac6}\Lambda^o\Lambda^l$ 11 καὶ] τὸ $F^sO\Lambda^s$ τοῦ om. $F^p$ 12 συμπροσκυνούμενον $MBFOK^{wz}bcv$ δοξαζόμενον $\Lambda^o$ ἁγίων προφητῶν $\Phi^{ac}\Phi^{ac6}\Lambda^o$ μίαν ἁγίαν $MBFOK^wbcv$ uaria lectio in $\Lambda^l$ 14 προσδοκῶ $OK^z$, corr. $K^z$ καὶ om. $\Phi^a\Phi^{a6}\Lambda^s$ uaria lectio in $\Lambda^o$ ἀμήν om. $MBK^z$ 15 praem. Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδοσ εἶπεν cv 15/16 τοῦτο καὶ σωτήριον $K^w$ 16 θείας om. Tim. $T^{syr}$ 18 ἀλλ'] καὶ $K^w$ ἀληθείασ ἐχθροὶ $K^w$ 18/19 τὰ κηρύγματα $R\Lambda^q$ 19 καινοφωνίας Latini omnes et Tim. τῆσ δι' ἡμᾶς οἰκονομίασ τοῦ κ̅υ̅ R τοῦ κ̅υ̅ δι' ἡμᾶσ τῆσ οἰκονομίασ O 20 τολμῶντεσ B θεοτόκον $B^bF$ 21 παραιτούμενοι R Tim. $T^{arm}$ $T^{syr}$ $\Phi^a\Phi^6\Lambda^h$ κρᾶσιν καὶ σύγχυσιν $bcv\Lambda^l$ καὶ¹ om. c φύσιν εἶναι $K^z$ 22 ἀναπλάττοντες ἀνοήτως bcv ἀναπλάττοντεσ F πάθουσ τὴν F, corr. $F^s$ τοῦ μονογενοῦς om. $T^{arm}$ $T^{syr}$ 24 αὔτη ἡ $F^p$ καὶ¹ om. Bbcv καὶ² om. $ROK^w\Lambda^{l\theta}$ 25 ἀσάλευτον ἄνωθεν R προηγουμένωσ μὲν $K^wbcv$